ὅτι καί γε τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος.
17 Φύλαξον πόδα σου, ἐν ᾧ ἐὰν πορεύῃ εἰς οἶκον τοῦ θεοῦ,
καὶ ἐγγὺς τοῦ ἀκούειν·
ὑπὲρ δόμα τῶν ἀφρόνων θυσία σου,
ὅτι οὐκ εἰσιν εἰδότες τοῦ ποιῆσαι κακόν.
5 1 μὴ σπεῦδε ἐπὶ στόματί σου,
καὶ καρδία σου μὴ ταχυνάτω
τοῦ ἐξενέγκαι λόγον πρὸ προσώπου τοῦ θεοῦ·
ὅτι ὁ θεὸς ἐν τῷ οὐρανῷ, καὶ σὺ ἐπὶ τῆς γῆς,
ἐπὶ τούτῳ ἔστωσαν οἱ λόγοι σου ὀλίγοι.
2 ὅτι παραγίνεται ἐνύπνιον ἐν πλήθει περισπασμοῦ
καὶ φωνὴ ἄφρονος ἐν πλήθει λόγων.
3 καθὼς ἂν εὔξῃ εὐχὴν τῷ θεῷ,
μὴ χρονίσῃς τοῦ ἀποδοῦναι αὐτήν·
ὅτι οὐκ ἔστιν θέλημα ἐν ἄφροσιν,
σὺν ὅσα ἐὰν εὔξῃ ἀπόδος.
4 ἀγαθὸν τὸ μὴ εὔξασθαί σε
ἢ τὸ εὔξασθαί σε καὶ μὴ ἀποδοῦναι.
5 μὴ δῷς τὸ στόμα σου τοῦ ἐξαμαρτῆσαι τὴν σάρκα σου
καὶ μὴ εἴπῃς πρὸ προσώπου τοῦ θεοῦ ὅτι Ἄγνοιά ἐστιν,
ἵνα μὴ ὀργισθῇ ὁ θεὸς ἐπὶ φωνῇ σου
καὶ διαφθείρῃ τὰ ποιήματα χειρῶν σου.
6 ὅτι ἐν πλήθει ἐνυπνίων καὶ ματαιότητες καὶ λόγοι πολλοί·
ὅτι σὺν τὸν θεὸν φοβοῦ.
7 Ἐὰν συκοφαντίαν πένητος καὶ ἁρπαγὴν κρίματος καὶ δι-
καιοσύνης ἴδῃς ἐν χώρᾳ,
μὴ θαυμάσῃς ἐπὶ τῷ πράγματι·
ὅτι ὑψηλὸς ἐπάνω ὑψηλοῦ φυλάξαι
καὶ ὑψηλοὶ ἐπ᾽ αὐτούς.
8 καὶ περισσεία γῆς ἐν παντί ἐστι,

$17^{1}$ ποδα S*†] pr. τον rel. | εν — πορευη] εν τω πορευεσθαι S^cV† | οικον] pr. τον A† | του > S | $17^{2}$ εγγυς] εγγισον S^cV | $17^{3}$] υπερ το δουναι αφροσυνης θυσιας S^c† (iam S*† θυσιας pro θυσια σου), υπερ το δουναι αφρονας θυσιαν V† | $17^{4}$ ποιειν B | κακον] το καλον S†, καλον pl.

5 $1^{1}$ σπευσης S† | $1^{4}$ ο > SV† | ουρανω] + ανω B | γης] + κατω S* | $1^{5}$ επι τουτω] δια τουτο BS^c || $2^{1}$ ενυπν. > S*† | περισπ. Gra.] πειρασμου mss.: cf. 3 10 || $3^{1}$ αν > B | $3^{3}$ οτι > B†: cf. 7 | $3^{4}$ συν] συ ουν mss., quod emendauit A. Klostermann, cf. E. Klostermann De libri Coheleth versione Alexandrina (1892), p. 44; cf. 2 12 || $5^{1}$ εξαμαρτησαι („in causative sense" Thack. p. 234)] -τανειν S*, -τειν AS^c | $5^{4}$ τα > S^c† | σου] σων B†: σος occurrit ubique in Prou., nusquam in Eccl. || $6^{1}$ ματ. — fin. La†] ματαιοτητων κ. λογων πολλων mss. | $6^{2}$ συν] συ BS: cf. 2 12 || $7^{3}$ οτι > B†: cf. 3 | φυλαξει S^c, -ασσει A | $7^{4}$ αυτης SA || $8^{1}$ και περ. γης ad 7 trah. BSA | εν V†] επι rel.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/251 UNIVERSITÄT LEIPZIG